𝔊 συναχθήσονται ἐπ᾿ αὐτοὺς πολλοὶ ἐπὶ πόλεως καὶ πολλοὶ ὡς ἐν
κληροδοσίᾳ. [35]καὶ ἐκ τῶν συνιέντων διανοηθήσονται εἰς τὸ καθα- 35
ρίσαι ἑαυτοὺς καὶ εἰς τὸ ἐκλεγῆναι καὶ εἰς τὸ καθαρισθῆναι ἕως
καιροῦ συντελείας· ἔτι γὰρ καιρὸς εἰς ὥρας. [36]καὶ ποιήσει κατὰ 36
τὸ θέλημα αὐτοῦ ὁ βασιλεὺς καὶ παροργισθήσεται καὶ ὑψωθήσεται
ἐπὶ πάντα θεὸν καὶ ἐπὶ τὸν θεὸν τῶν θεῶν ἔξαλλα λαλήσει καὶ
εὐοδωθήσεται, ἕως ἂν συντελεσθῇ ἡ ὀργή· εἰς αὐτὸν γὰρ συντέ-
λεια γίνεται. [37]καὶ ἐπὶ τοὺς θεοὺς τῶν πατέρων αὐτοῦ οὐ μὴ προ- 37
νοηθῇ καὶ ἐν ἐπιθυμίᾳ γυναικὸς οὐ μὴ προνοηθῇ, ὅτι ἐν παντὶ
ὑψωθήσεται, καὶ ὑποταγήσεται αὐτῷ ἔθνη ἰσχυρά· [38]ἐπὶ τὸν τόπον 38
αὐτοῦ κινήσει καὶ θεόν, ὃν οὐκ ἔγνωσαν οἱ πατέρες αὐτοῦ, τιμή-
σει ἐν χρυσίῳ καὶ ἀργυρίῳ καὶ λίθῳ πολυτελεῖ. καὶ ἐν ἐπιθυμή-
μασι [39]ποιήσει πόλεων καὶ εἰς ὀχύρωμα ἰσχυρὸν ἥξει· μετὰ θεοῦ 39
ἀλλοτρίου, οὗ ἐὰν ἐπιγνῷ, πληθυνεῖ δόξαν καὶ κατακυριεύσει αὐτοῦ
ἐπὶ πολὺ καὶ χώραν ἀπομεριεῖ εἰς δωρεάν. [40]καὶ καθ᾿ ὥραν συντε- 40
λείας συγκερατισθήσεται αὐτῷ ὁ βασιλεὺς Αἰγύπτου, καὶ ἐποργι-

37 τους θεους] τον θεον Sy

---

θ′ σονται βοήθειαν μικράν, καὶ προστεθήσονται ἐπ᾿ αὐτοὺς πολλοὶ ἐν
ὀλισθρήμασιν. [35]καὶ ἀπὸ τῶν συνιέντων ἀσθενήσουσιν τοῦ πυρῶσαι 35
αὐτοὺς καὶ τοῦ ἐκλέξασθαι καὶ τοῦ ἀποκαλυφθῆναι, ἕως καιροῦ
πέρας· ὅτι ἔτι εἰς καιρόν. [36]καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ 36
καὶ ὑψωθήσεται ὁ βασιλεὺς καὶ μεγαλυνθήσεται ἐπὶ πάντα θεὸν
καὶ λαλήσει ὑπέρογκα καὶ κατευθυνεῖ, μέχρις οὗ συντελεσθῇ ἡ ὀρ-
γή· εἰς γὰρ συντέλειαν γίνεται. [37]καὶ ἐπὶ πάντας θεοὺς τῶν πατέ- 37
ρων αὐτοῦ οὐ συνήσει καὶ ἐπὶ ἐπιθυμίαν γυναικῶν καὶ ἐπὶ πᾶν
θεὸν οὐ συνήσει, ὅτι ἐπὶ πάντας μεγαλυνθήσεται· [38]καὶ θεὸν μα- 38
ωζιν ἐπὶ τόπου αὐτοῦ δοξάσει καὶ θεόν, ὃν οὐκ ἔγνωσαν οἱ πατέ-
ρες αὐτοῦ, δοξάσει ἐν χρυσῷ καὶ ἀργύρῳ καὶ λίθῳ τιμίῳ καὶ ἐν
ἐπιθυμήμασιν. [39]καὶ ποιήσει τοῖς ὀχυρώμασιν τῶν καταφυγῶν μετὰ 39
θεοῦ ἀλλοτρίου καὶ πληθυνεῖ δόξαν καὶ ὑποτάξει αὐτοῖς πολλοὺς
καὶ γῆν διελεῖ ἐν δώροις. [40]καὶ ἐν καιροῦ πέρατι συγκερατισθήσε- 40
ται μετὰ τοῦ βασιλέως τοῦ νότου, καὶ συναχθήσεται ἐπ᾿ αὐτὸν βα-
σιλεὺς τοῦ βορρᾶ ἐν ἅρμασιν καὶ ἐν ἱππεῦσιν καὶ ἐν ναυσὶν πολ-

34 επ] προς B | ολισθρ.: cf. 21 || 35 και 2° > A† || 36 ο βασ. / και μεγαλ.] tr. A† | θεον Bpau.] + και επι τον θεον των θεων rel., sed και seq. habent etiam hi || 37 παντας θεους] -τος -ου B*† | ου 1° > A | επι 2° Q] > BA: ante επι- | επιθυμιαν] ν > Bpau. | παν B† (cf. Iud. 7 4 B)] παντα rel. || 38 μαωζ(ε)ιν] ν > A† | δοξασει 1°] pr. ου A†: post αυτου | χρυσιω AQ, αργυριω Q: cf. 43 || 40 καιρου] τω καιρω A† | επ αυτον] μετ αυτου A† | βασιλευς] ο βασ. ο B(†) | εν 3° > B

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/937 UNIVERSITÄT LEIPZIG